## *ΓΝΑΙΟΣ ΠΟΜΠΗΙΟΣ*

1. *Γναῖος Πομπήιος ὑπὸ Ῥωμαίων ἠγαπήθη τοσοῦτον ὅσον ὁ πατὴρ ἐμισήθη. νέος δ᾽ ὢν παντάπασι τῇ Σύλλα μερίδι προσέθηκεν αὑτόν· καὶ μήτ᾽ ἄρχων μήτε βουλεύων πολλοὺς ἐκ τῆς Ἰταλίας ἐστρατολόγησε. καὶ* C *Σύλλα καλοῦντος οὐκ ἔφη δίχα λαφύρων οὐδ᾽ ἀναίμακτον ἐπιδείξειν τῷ αὐτοκράτορι τὴν δύναμιν· οὐδ᾽ ἦλθε πρότερον πρὶν ἢ πολλαῖς μάχαις νικῆσαι τοὺς στρατηγοὺς τῶν πολεμίων.*

2. *Ἐπεὶ δὲ πεμφθεὶς εἰς Σικελίαν ὑπὸ Σύλλα στρατηγὸς ἐπυνθάνετο τοὺς στρατιώτας ἐν ταῖς ὁδοιπορίαις ἐκτρεπομένους βιάζεσθαι καὶ ἁρπάζειν, τοὺς μὲν ἄλλως πλανωμένους καὶ περιθέοντας ἐκόλασε, τῶν δὲ πεμπομένων ὑπ᾽ αὐτοῦ σφραγῖδας ἐπέβαλε ταῖς μαχαίραις.*

3. *Μαμερτίνους δὲ τῆς ἐναντίας γενομένους μερίδος οἷός [τε] ἦν ἀποσφάττειν ἅπαντας· Σθενίου δὲ τοῦ δη-* D *μαγωγοῦ φήσαντος οὐ δίκαια ποιεῖν αὐτὸν ἀνθ᾽ ἑνὸς αἰτίου πολλοὺς ἀναιτίους κολάζοντα, τοῦτον δὲ αὐτὸν εἶναι τὸν τοὺς μὲν φίλους πείσαντα τοὺς δ᾽ ἐχθροὺς βιασάμενον ἑλέσθαι τὰ Μαρίου, θαυμάσας ὁ Πομπήιος ἔφη συγγνώμην ἔχειν Μαμερτίνοις ὑπὸ τοιούτου πεισθεῖσιν ἀνδρός, ὃς τὴν πατρίδα τῆς ἑαυτοῦ ψυχῆς προτιμᾷ. καὶ τήν τε πόλιν καὶ τὸν Σθένιον ἀπέλυσεν.*

4. *Εἰς δὲ Λιβύην διαβὰς ἐπὶ Δομίτιον καὶ μάχῃ μεγάλῃ κρατήσας ἀσπασαμένων αὐτὸν αὐτοκράτορα τῶν στρα-*